Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

Caput VIII. Enumeratio eorum quae Constantinus praeclare gessit, tum Christianos liberando, tum Ecclesias construendo, tum alia quaedam ad utilitatem Reipublicae disponendo.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

λυπήσειν ταῖς δυσπραγίαις τῆς θρησκείας· ἅμα δὲ καὶ τὰς ἐκκλησίας ὑπολαμβάνων εὔχεσθαι, καὶ σπουδάζειν ὑπ' αὐτοῦ μόνου βασιλεύεσθαι· πρὸς τούτοις δὲ, οἷα φιλεῖ γίνεσθαι, πάλιν εἰς μάχην καθίστασθαι μέλλων κωνσταντίνῳ, τοῦ προσδοκωμένου πολέμου πρόνοιαν ἐποιεῖτο, διά τε σφαγίων καὶ μαντειῶν· καὶ ὑπαχθεὶς τισὶν ὑπισχνουμένοις αὐτῷ κρατήσειν, εἰς ἑλληνισμὸν ἐτράπη· ἀμέλει τοίνυν ἕλληνες φασὶν αὐτὸν τότε ἀποπειραθῆναι τοῦ ἐν μιλήτῳ μαντείου τοῦ διδυμαίου ἀπόλλωνος· ἐρομένῳ δὲ αὐτῷ περὶ τοῦ πολέμου, χρῆσαι τὸ δαιμόνιον τούτους τοὺς ὁμηρικοὺς στίχους·

Ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί·
Σή τε βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ἱκάνει·

Ἐκ πολλῶν οὖν καὶ ἄλλων ἔδοξέ μοι, τὸ δόγμα τῶν χριστιανῶν, θεοῦ προνοίᾳ συνίστασθαι, καὶ εἰς τοσαύτην παρελθεῖν ἐπίδοσιν· οὐχ ἥκιστα δὲ ἐκ τῶν τότε γινομένων· μέλλοντι γὰρ ἤδη λικινίῳ διώκειν πάσας τὰς ὑπ' αὐτὸν ἐκκλησίας, συνίσταται ὁ ἐν βιθυνίᾳ πόλεμος, ὃν τελευταῖον ἐπολέμησαν πρὸς ἀλλήλους αὐτός τε καὶ κωνσταντῖνος· τοσαύτῃ δὲ θείᾳ ῥοπῇ ἐχρήσατο κωνσταντῖνος, ὡς κατὰ γῆν καὶ θάλασσαν κρατῆσαι τῶν ἐναντίων· ἀποβαλόντα δὲ λικίνιον τὸ πεζὸν καὶ τὸ ναυτικόν, ἑαυτὸν ἐν νικομηδείᾳ προδοῦναι, καὶ ἰδιώτην ἐπί τινα χρόνον διαγαγεῖν ἐν θεσσαλονίκῃ, κἀκεῖσε ἀναιρεθῆναι· ἄνδρα τὰ πρῶτα τῆς ἡγεμονίας, ἐν πολέμοις καὶ τοῖς ἄλλοις εὐδοκιμώτατον γινόμενον, καὶ τῷ γάμῳ τῆς ἀδελφῆς κωνσταντίνου τετιμημένον, εἰς τοῦτο δὲ καταστάντα τέλους.

A calamitatibus maximum dolorem Constantino allaturum se esse sperans: simul etiam existimans, Ecclesias Christianorum id unum optare ac studere, ut illum solum Imperatorem haberent. Præterea cum iterum pugnaturus esset adversus Constantinum, victimis & divinationibus ad futurum bellum se præparabat: seductusque à quibusdam qui victoriam ipsi pollicebantur, ad Gentilium superstitionem descivit. Gentiles certe memorant, illum tunc temporis oraculum Apollinis Didymæi quod erat in urbe Mileto consuluisse: eique de belli eventu interroganti Apollinem respondisse his Homericis versibus:

B *O vetule, incursant juvenes te bellipotentes,*
*Fracta est vis tua, statque tibi ærumnosa senectus.*

Et ex multis quidem rebus deprehendi, religionem Christianorum divinâ providentiâ constitutam esse, tantosque progressus fecisse; præcipue vero ex iis rebus quæ tunc gestæ sunt. Nam cum Licinius cunctas Ecclesias quæ sub ipsius ditione erant, jamjam persecuturus esset, conflatum est in Bithynia bellum illud, quod inter Constantinum ac Licinium postremum fuit. In quo Con-
C stantinus Dei auxilio in tantum adjutus est, ut hostes terra marique devicerit: & Licinius terrestri simul ac navali exercitu amisso, Nicomediæ seipsum dediderit, & privatus aliquamdiu egerit Thessalonicæ, ibique tandem interfectus sit. Vir qui initio quidem imperii, tum bello, tum pace egregius extiterat, & nuptiis sororis Constantini fuerat honoratus: tandem vero hujusmodi exitum sortitus est quem dixi.

---

## Κεφ. η'.

Κατάλογος τῶν χρηστῶν, ὅσα κωνσταντῖνος διεπράξατο, ἔν τε ἐλευθερίᾳ χριστιανῶν, καὶ ναῶν οἰκοδομαῖς, καὶ ἄλλων κοινωφελῶν πραγμάτων.

Κωνσταντῖνος δὲ, εἰς μόνον αὐτὸν πάσης τῆς ῥωμαίων ἀρχῆς περιστάσης, γράμματι δημοσίῳ προηγόρευσε τοῖς ἀνὰ τὴν ἕω ὑπηκόοις, τὴν χριστιανῶν σέβειν θρησκείαν, καὶ τὸ θεῖον ἐπιμελῶς θεραπεύειν· θεῖον δὲ νοεῖν μόνον, ὃ καὶ ὄντως ἐστὶ, καὶ διαρκῆ κατὰ παντὸς τοῦ χρόνου

D

## Caput VIII.

*Enumeratio eorum quæ Constantinus præclare gessit, tum Christianos liberando, tum Ecclesias construendo, tum alia quædam ad utilitatem Reipublicæ disponendo.*

Constantinus vero, cum jam solus Romano Imperio potiretur, Romanis per Orientē degentibus publico edicto præcepit, ut Christianam religionem colerent, Deumque studiose venerarentur: solum vero cum existimarent Deum, qui & revera est, & perpetuam

omni ævo habet poteſtatem. Nam illis quidem qui hæc ſtudioſe obſervarent, cuncta bona ubertim affluere ſolere, & quæcunque cum ſpe bona aggrederentur, ex animi ſententia ſuccedere: iis vero qui erga divinum numen delinquerent, tum privatim tum publice, tam bello quam pace, omnia infeliciter cadere. Subdit deinde, non quidem ſe jactans, ſed gratias agens Deo, ſicut ipſe affirmat, Deum cum ipſum idoneum voluntatis ſuæ miniſtrum eſſe voluiſſet, à Britannico mari uſque ad Orientis Provincias ipſum perduxiſſe, ut Chriſtianorum augeretur religio, & ii qui propter Dei cultum in confeſſionibus aut Martyriis conſtantes permanſerant, honoribus ac præmiis illuſtrarentur. Poſtquam iſta prædicavit, aliaque plurima expoſuit, quibus putabat ſubditos ad Chriſtianam religionem allici poſſe, irrita eſſe decernit, quæcunque temporibus eorum qui Eccleſiam perſecuti fuerant, contra religionem ſtatuta geſtave fuiſſent: præcipitque ut libertate potiantur, quotquot ob confeſſionem Chriſti damnati eſſent exilio, aut in inſulis aliiſve locis contra voluntatem ſuam degere juſſi; quotquot item aut in metallum dati, aut ad opus publicum condemnati, aut Gynæceis aut textrinis miniſtrare coacti, aut curiis mancipati, cum antea Curiales non eſſent. Eos præterea qui infamia notati fuerant, infamia liberavit. Quibus vero ordo cujuſpiam militiæ ademptus fuerat, liberum iis reliquit, ut vel priſtinum locum recuperarent, vel cum honeſta miſſione otio liberali fruerentur. Cumque omnes ad priorem libertatem & conſuetos honores revocaſſet, facultates etiam ſuas iis reddidit. Quod ſi qui morte damnati bonis ſpoliati fuiſſent, præcepit ut genere proximis hæreditas eorum deferretur: ſin nemo ex proximis ſupereſſet, ſingulæ cujuſque loci Eccleſiæ hæredes eſſent: & ut ſive privatus quiſpiam, ſive reſpublica, aliquid ex ejuſmodi bonis poſſideret, ſtatim reſtitueret. His vero qui aut à fiſco ea emiſſent, aut dono accepiſſent, quoad fieri poſſet competenti ratione proſpecturum ſe promiſit. Hæc, ut dixi, ab Imperatore conſtituta, & lege confirmata ſunt, ac ſine ulla mora executioni mandata. Jam vero cunctos Magiſtratus Imperii Romani,

A τὴν δύναμιν ἔχει· τάδε μὲν γὰρ σπουδάζουσιν, ἄφθονα πάντα τὰ ἀγαθὰ φιλεῖ προσγίνεσθαι· καὶ ἅπερ ἂν ἐγχειρῶσι, μετὰ χρηστῶν ἐλπίδων ἀπαντᾶν· τοῖς δὲ περὶ τὸ κρεῖττον ἁμαρτάνουσι, κοινῇ καὶ ἰδίᾳ ἐν πολέμοις τε καὶ εἰρήνῃ πάντα δυσχερῆ συμβαίνειν· χάριν τε ὁμολογῶν, οὐ κομπάζων λέγει ἰσχυρίζεται, ὡς ἐπιτήδειον ὑπηρέτην ἀξιώσας αὐτὸν εἶναι ὁ θεὸς τῆς αὐτοῦ βουλήσεως, ἀπὸ τῆς πρὸς Βρεττανοὺς θαλάσσης, μέχρι τῶν ἑῴων χωρίων προήγαγεν, ὅπως ἡ Χριστια-B νῶν αὐξηθείη θρησκεία, καὶ οἱ θεραπείας θεοῦ ἕνεκεν καρτερικοὶ διαμείναντες ἐν ὁμολογίαις ἢ μαρτυρίαις, ἐπιφανέστεροι ταῖς τιμαῖς ἀναδειχθῶσι· τοιαῦτα ἀναγορεύσας, καὶ ἄλλα μυρία διεξελθών, δι' ὧν ᾤετο τὸ ὑπήκοον πρὸς τὴν θρησκείαν ἐπάγεσθαι, ἄκυρα εἶναι ἐψηφίσατο τὰ κατὰ τῆς θρησκείας δόξαντα ἢ πεπραγμένα ἐπὶ τῶν διωξάντων τὴν ἐκκλησίαν· ἄφεσίν τε ἔχειν πάντας ἐνομοθέτησεν, ὅσοι διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν κατεδικάσθησαν μετοικεῖν, ἢ ἐν νήσοις, ἢ C ἀλλαχόσε παρὰ γνώμην διατελεῖν, ἢ μετάλλοις ἐμπονεῖν, ἢ δημοσίοις ἔργοις, ἢ γυναικείοις, ἢ λινυφίοις ὑπηρετεῖν, ἢ βουλευτηρίοις ἐναριθμεῖσθαι, μὴ βουλευταὶ ὄντες πρότερον· ἀτίμοις δὲ γενομένοις, τὴν ἀτιμίαν ἔλυσε· τοῖς δὲ στρατείας τινὸς ἀφαιρεθεῖσιν, ἐν γνώμῃ εἴασεν, ἢ ἐφ' ᾧπερ ἦσαν σχήματος εἶναι, ἢ μετ' ἀφέσεως ἐντίμου ἐλευθέραν ἄγειν σχολήν· ἐπεὶ δὲ πάντας εἰς τὴν προτέραν ἐλευθερίαν καὶ τὰς συνήθεις τιμὰς ἀνεκαλέσατο, καὶ τὰς οὐσίας αὐτοῖς ἀπεδίδου. D εἰ δέ τινες θάνατον καταδικασθέντες τῶν ὄντων ἀφῃρέθησαν, προσέταξε τοῖς ἐγγυτάτω γένους διαφέρειν τοὺς κλήρους· μηδενὸς δὲ τούτων ὄντος, τὴν καθέκαστον ἐπιχώριον ἐκκλησίαν κληρονομεῖν· εἴτε δὲ ἰδιώτης, εἴτε τὸ δημόσιον, ἐκ τοιαύτης οὐσίας ἔχοι τι, ἀποδοῦναι· τῶν δὲ παρὰ τοῦ ταμείου πριαμένων, ἢ δωρεὰν λαβόντων, εἰς τὸν δυνατὸν καὶ πρέποντα τρόπον προνοεῖν ὑπέσχετο. τάδε μὲν ὡς εἴρηται, τῷ βασιλεῖ ἔδοξε, καὶ νόμῳ ἐκυρώθη, ἀμελλητί τε τοῦ προσήκοντος τέλους ἐτύγχανε. Χριστιανοὶ δὲ ὡς ἐπίπαν τῆς Ῥωμαίων

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

ἀρχὰς ἐπετρόπευον· καὶ τοῦ λοιποῦ θύειν ἀπείρητο πᾶσιν, ἢ μαντείαις καὶ τελεταῖς χρῆσθαι, ἢ ξόανα ἀνατιθέναι, ἢ ἑλληνικὰς ἄγειν ἑορτάς· πολλὰ δὲ καὶ τῶν κατὰ πόλεις ἐθῶν, ἠμείβετο τῆς ἀρχαιότητος ἀμέλητοι, παρὰ μὲν Αἰγυπτίοις, οὐκέτι εἰς τοὺς εἰωθότας ἑλληνικοὺς ναούς· εἰς δὲ τὰς ἐκκλησίας ἐξ ἐκείνου φέρεται ὁ πῆχυς, ᾧ σημαίνεται τῶν τοῦ Νείλου ὑδάτων ἡ ἐπίδοσις· παρὰ δὲ Ῥωμαίοις, ὅτε πρῶτον ἡ τῶν μονομάχων ἐκωλύθη θέα· παρὰ δὲ Φοίνιξιν, οἱ τὸν Λίβανον καὶ τὴν Ἡλίου πόλιν οἰκοῦσιν, οὐκέτι θέμις ἦν ἐκπορνεύεσθαι τὰς παρθένους, πρὶν τοῖς ἀνδράσι συνελθεῖν, οἷς νομίμῳ γάμῳ συνοικεῖν εἰώθεσαν, μετὰ τὴν πρώτην πεῖραν τῆς ἀθεμίτου μίξεως· τῶν δὲ εὐκτηρίων οἴκων, οἱ μὲν ἀρκούντως μεγέθους ἔχοντες, ἐπανωρθοῦντο· οἱ δὲ, εἰς ἐπίδοσιν ὕψους καὶ πλάτους λαμπρῶς ἐπεσκευάζοντο· ἕτεροι δὲ τὴν ἀρχὴν μὴ ὄντες, ἐκ θεμελίου ἐδημιουργοῦντο· τὰ δὲ χρήματα, ἐκ τῶν βασιλικῶν θησαυρῶν ἐχορήγει ὁ βασιλεύς, γράψας τοῖς κατὰ πόλιν ἐπισκόποις, καὶ τοῖς ἡγεμόσι τῶν ἐθνῶν, τοῖς μὲν ἐπιτάττειν ὅ, τι βούλοιντο· τοὺς δὲ πειθαρχεῖν, καὶ σπουδαίως ὑπηρετεῖσθαι τοῖς ἱερεῦσιν· εὐημερούσης δὲ αὐτοῦ τῆς ἀρχῆς, συνεπεδίδου ἡ θρησκεία· ἐπὶ τοσοῦτον δὲ καὶ μετὰ τὸν πρὸς Λικίνιον πόλεμον ἐπιτευκτικὸς ἐγένετο ἐν ταῖς κατὰ τῶν ἀλλοφύλων μάχαις, ὡς καὶ Σαυροματῶν κρατῆσαι, καὶ τῶν καλουμένων Γότθων, καὶ τὸ τελευταῖον, ἐν μέρει χάριτος σπείσασθαι πρὸς αὐτούς· τοῦτο δὲ τὸ ἔθνος, ᾤκει μὲν τότε πέραν Ἴστρου ποταμοῦ· μαχιμώτατον δὲ τυγχάνον, καὶ πλήθει, καὶ μεγέθει σωμάτων, ἐν ὅπλοις ἀεὶ παρεσκευασμένον, τῶν μὲν ἄλλων βαρβάρων ἐκράτει· μόνους δὲ Ῥωμαίους ἀνταγωνιστὰς εἶχεν· οὐχ ἥκιστα δὲ (λέγεται) καὶ τοῦτον τὸν πόλεμον ἐπιδεῖξαι Κωνσταντίνῳ διὰ σημείων καὶ ὀνειράτων, ὅσης θεόθεν ἠξιοῦτο προνοίας· κρατήσας δὲ πάντων τῶν ἐπ' αὐτοῦ συμβάντων πολέμων, καθάπερ ἀντιφιλοτιμούμενος τὸν Χριστὸν, ἠμείβετο τῇ περὶ τὴν θρησκείαν σπουδῇ· ταύτην μόνην πρεσβεύειν, καὶ σωτήριον ἡγεῖσθαι, τοὺς ἀρχομένους προτρέπων· ἐκ δὲ τῆς οὔσης ὑποφόρου γῆς, καθ' ἑκάστην πόλιν ἐξελὼν τοῦ δημοσίου ῥητὸν τέλος,

A fere Christiani administrabant: vetitumque erat universis, ne inposterum sacrificarent, neve vates consulerent, aut mysteriis initiarentur, aut simulacra dedicarent, aut festos Gentilium dies celebrarent. Multi quoque civitatum vetustissimi ritus immutati sunt. Denique ex eo tempore apud Ægyptios cubitus Nili, quo incrementum aquarum ejus fluminis notari solet, non amplius in Gentilium templa, sicut mos erat, sed in Ecclesias defertur. Apud Romanos vero interdicta fuerunt gladiatorum spectacula. Jam vero apud Phœnices qui Libanum & Heliopolim B incolunt, fas amplius non fuit scortari virgines, priusquam viris jungerentur; quibus legitimo connubio tunc demum sociabantur, postquam illicitum concubitum expertæ fuissent. Ad hæc Ecclesię, eæ quidem quæ satis amplę erant, reficiebantur: aliæ vero incremento latitudinis & altitudinis accepto, splendidiores fiebant. Alibi vero novæ à fundamentis extruebantur, ubi antea non fuissent. Pecunias autem ex regalibus thesauris Imperator suppeditabat, scriptis literis, partim ad Episcopos, partim ad rectores Provinciarum; ad illos quidem, ut quod ipsis libitum esset imperarent: ad hoc vero, ut obtempera- C rent Episcopis, iisque studiose obsequerentur. Cum autem Imperium ejus in prospero statu esset, unà cum Imperio etiam religio florebat. Certe post bellum adversus Licinium, adeo felix ac fortunatus fuit in præliis adversus Barbaros, ut & Sarmatas & Gotthos devicerit: tandemque summi beneficii loco fœdus cum illis percusserit. Porro ista gens tunc quidem temporis trans Danubium habitabat. Et cum esset bellicosissima, ac tum ob multitudinem, tum ob corporum magnitudinem in armis semper exercitata, aliis quidem Barbaris superior erat: solos autem Romanos D æmulos habebat. Fertur porro in hoc bello cum maxime declaratum esse Constantino per signa ac somnia, quantam ipsius curam Deus gereret. Cùm igitur omnibus bellis quæ sub ejus Imperio contigerunt, victoriam reportasset, velut certans in referenda Christo gratia, suum erga illius religionem studium atque affectum rependit; subditos suos adhortans, ut eam solam colerent ac salutarem judicarent. Quin etiam ex tributis annuis certam pensio-

nem eximens fisco, Ecclesiis & clero cujusque loci distribui jussit: eamque donationem omni inposterum ævo ratam firmamque esse lege sanxit. Porro ut milites ad Deum pari cum ipso ratione colendum assuefaceret, eorum arma crucis effigie insignivit; & in palatio Ecclesiam ædificavit: & quoties ad bellum proficisceretur, tabernaculum ad Ecclesiæ similitudinem fabricatum circumferre consueverat: ita ut ne quidem in solitudine constitutus, tam ipse, quam exercitus ejus, sacra æde careret, in qua Deum laudare, ac preces fundere, & sacra mysteria percipere possent. Sequebantur enim sacerdotes & Diaconi tabernaculo assidentes, qui juxta Ecclesiæ ritum ejusmodi officia obirent. Atque ex eo tempore, Romanorum legiones quæ nunc Numeri vocantur, singulæ proprium sibi tabernaculum facere cœperunt, & sacerdotes ac Diaconos proprios ac peculiares habere. Præterea die Dominico, quem Hebræi quidem primum sabbati appellant, Gentiles vero Soli consecraverunt; & eo qui Sabbatum antecedit, cunctos à judiciis aliisque negotiis feriari præcepit, precibusque ac supplicationibus Deum colere. Ac Dominicum quidem diem ideo honoravit, quod Christus eo die à mortuis surrexisset: diem vero qui Sabbatum antecedit, eo quod Christus crucifixus tum fuisset. Crucem enim divinam maximo cultu veneratus est, tum ob victorias quas ejus ope retulerat in præliis adversus hostes, tum ob signum quod de illa ostensum ipsi divinitus fuerat. Denique supplicium crucis, quod apud Romanos antea erat usitatum, lege lata sustulit. Quin etiam quotiescunque aut in nummis imago ejus insculperetur, aut in tabulis pingeretur, semper divinum hoc signum unà cum ipso sculpi ac depingi præcepit. Idque etiamnum testantur imagines illius in hunc modum expressæ. Ac in omnibus quidem dictis suis & factis divinum numen colere studebat: præcipue vero cum leges ferret. Intemperantes certe & dissolutos concubitus, antea minime prohibitos coercuit, sicut ex legibus quæ de illis latæ sunt deprehendere licet, si cui forte id curæ fuerit. In præsentiarum enim accurate id persequi, intempestivum mihi videtur. Ea vero quæ ad honorem &

A ταῖς κατὰ τόπον ἐκκλησίαις καὶ κλήροις ἀπένειμε, καὶ τὴν δωρεὰν εἰς τὸν ἅπαντα χρόνον κυρίαν εἶναι ἐνομοθέτησε. προσεθίζων δὲ τοὺς στρατιώτας ὁμοίως αὐτῷ τὸν θεὸν σέβειν, τὰ τούτων ὅπλα τῷ συμβόλῳ τοῦ σταυροῦ κατεσήμαινε, καὶ ἐν τοῖς βασιλείοις εὐκτήριον οἶκον κατεσκεύασε· καὶ σκηνὴν εἰς ἐκκλησίαν εἰκασμένην περιέφερεν, ἡνίκα πολεμίοις ἐπεστράτευεν, ὥστε μηδὲ ἐν ἐρημίᾳ διάγοντα αὐτὸν ἢ τὴν στρατιὰν, ἱεροῦ οἴκου ἀμοιρεῖν, ἐν ᾧ δέοι τὸν θεὸν ὑμνεῖν καὶ προσεύχεσθαι καὶ μυστηρίων μετέχειν· συνείποντο γὰρ καὶ ἱερεῖς καὶ διάκονοι τῇ σκηνῇ προσεδρεύοντες, οἳ κατὰ τὸν νόμον τῆς ἐκκλη-

B σίας, τὴν περὶ ταῦτα τάξιν ἐπλήρουν. ἐξ ἐκείνου δὲ καὶ τὰ Ῥωμαίων τάγματα, ἃ νῦν ἀριθμοὺς καλοῦσιν, ἕκαστον ἰδίαν σκηνὴν κατεσκευάσατο, καὶ ἱερέας, καὶ διακόνους ἀπονενεμημένους ἔχειν· τὴν δὲ κυριακὴν καλουμένην ἡμέραν, ἣν ἑβραῖοι πρώτην τῆς ἑβδομάδος ὀνομάζουσιν, ἕλληνες δὲ ἡλίῳ ἀνατιθέασι, καὶ τὴν πρὸ τῆς ἑβδόμης, ἐνομοθέτησε δικαστηρίων καὶ τῶν ἄλλων πραγμάτων σχολὴν ἄγειν πάντας, καὶ ἐν εὐχαῖς καὶ λιταῖς τὸ θεῖον θεραπεύειν· ἐτίμα δὲ τὴν κυριακὴν, ὡς ἐν ταύτῃ τοῦ

C χριστοῦ ἀναστάντος ἐκ νεκρῶν· τὴν δὲ ἑτέραν, ὡς ἐν αὐτῇ σταυρωθέντος· πάνυ γὰρ πολὺ σέβας εἶχε τοῦ θείου σταυροῦ, ἔκ τε τῶν ὑπαρξάντων αὐτῷ τῇ ἐντεῦθεν ῥοπῇ ἐν ταῖς κατὰ τῶν ἐναντίων μάχαις, καὶ ἐκ τῆς συμβάσης αὐτῷ περὶ τούτου θεοσημείας· ἀμέλει τοι πρότερον νενομισμένην ῥωμαίοις τὴν τοῦ σταυροῦ τιμωρίαν, νόμῳ ἀνεῖλε τῆς χρήσεως τῶν δικαστηρίων· πλαττομένῳ τε ἐν νομίσμασι καὶ εἰκόσι γραφομένῳ, ἐκέλευσεν ἀεὶ συγγράφεσθαι καὶ συντυποῦσθαι τοῦτο τὸ θεῖον σύμβο-

D λον· καὶ μαρτυροῦσιν εἰς ἔτι νῦν εἰκόνες αὐτοῦ ἐπὶ τούτου οὖσαι τοῦ σχήματος· ἐν ἅπασι μὲν, νομοθετῶν δὲ μάλιστα, ἐσπούδαζε θεραπεύειν τὸ θεῖον· φαίνεται γοῦν τὰς ἀκολάστους καὶ καταβεβλακευμένας μίξεις, πρὸ τούτου μὴ κωλυομένας, ἐπανορθώσας· ὡς ἐξ αὐτῶν συνιδεῖν ἐστὶ τῶν περὶ τούτων κειμένων νόμων, εἴ τῳ τοῦτο ἐπιμελὲς τυγχάνοι· νυνὶ γὰρ περὶ τὸ τέλεον τοῦτο πονεῖν, οὐκ εὔκαιρον εἶναί μοι δοκεῖ· τὰ δὲ ἐπὶ τιμῇ

συςάσει τῆς θρησκείας νενομοθετημένα, πρὸς
τοῖς εἰρημένοις διεξελθεῖν ἀναγκαῖον, μέρος
ὄντα τῆς ἐκκλησιαστικῆς ἱστορίας· ἄρξομαι δὲ
ἐντεῦθεν.

A confirmationem religionis ab illo sancita sunt, præter illa quæ jam dixi, commemorare necessarium puto, quippe quæ non minima pars sint Ecclesiasticæ Historiæ. Hinc autem initium sumam.

---

## Κεφ. θ'.

Ὅτι καὶ νόμον ἔθετο ὁ κωνςαντῖνος, συντελεῖν τοῖς παρθενίαν ἀσκοῦσι καὶ κληρικοῖς.

Νόμος ἦν ῥωμαίοις παλαιός, ἀπὸ εἴ-
κοσι καὶ πέντε ἐτῶν, τῶν ἴσων ἀξιοῦσθαι
κωλύων τοὺς ἀγάμους τοῖς μὴ τοιούτοις,
περί ἄλλα τε πολλά, καὶ τὸ μηδὲν κερδαί-
νειν ἐκ διαθήκης τοὺς μὴ γένει ἐγγυτάτω προσ-
ήκοντας· τοὺς δὲ ἄπαιδας ζημιῶν τὸ ἥμι-
συ τῶν καταλελειμμένων· ἔθεντο δὲ τοῦτον
οἱ πάλαι ῥωμαῖοι, πολυάνθρωπον ἔσεσθαι
τὴν ῥώμην καὶ τὴν ὑπήκοον οἰόμενοι, καθό-
τι οὐ πρὸ πολλοῦ τοῦ νόμου, ἔτυχον ἀπο-
βαλόντες τὰ σώματα ἐν ἐμφυλίοις πολέ-
μοις· ὁρῶν οὖν ὁ βασιλεὺς παρὰ τοῦτο χεῖ-
ρον πράττοντας τοὺς παρθενίαν καὶ ἀπαι-
δίαν διὰ θεὸν ἀσκοῦντας. εὔηθες ἐνόμισεν
ἐξ ἐπιμελείας καὶ σπουδῆς ἀνθρώπων δύ-
νασθαι τὸ τούτων γένος αὔξειν, τῆς φύσεως
ἀεὶ κατὰ τὴν ἄνωθεν ἐπιμέτρησιν, καὶ φθο-
ρὰν καὶ αὔξησιν δεχομένης· καὶ νόμον τῷ
δήμῳ προσεφώνησεν, ὥςε ἐπίσης πάντων
τῶν ὁμοίων ἀπολαύειν τοὺς ἀγάμους καὶ ἀ-
παιδας· οὐ μὴν ἀλλὰ καὶ πλέον ἔχειν ἐνο-
μοθέτησε τοὺς ἐν ἐγκρατείᾳ καὶ παρθενίᾳ
βιοῦντας, ἄδειαν αὐτοῖς δοὺς ἄρρεσί τε καὶ
θηλείαις καὶ ἀνήβοις οὖσι διατίθεσθαι, παρὰ
τὸ κοινῇ κρατοῦν ἐν τῇ ῥωμαίων πολιτείᾳ·
περὶ πάντων γὰρ εὖ βουλεύεσθαι ᾠήθη, οἷς ἔρ-
γον ἀεὶ τὸ θεῖον θεραπεύειν, καὶ φιλοσο-
φίαν ἀσκεῖν· ἐπεὶ τούτου χάριν καὶ οἱ πά-
λαι ῥωμαῖοι, ἀδεῶς διατίθεσθαι τὰς ἑςια-
κὰς παρθένους καὶ ἑξαετεῖς οὔσας, ἐνομοθέ-
τησαν· τεκμήριον δὲ κἀκεῖνο μέγιςον τῆς
τοῦ βασιλέως περὶ τὴν θρησκείαν αἰδοῦς· τοὺς
μὲν γὰρ πανταχῇ κληρικούς, θέσει νόμου ἀτε-
λεῖς ἀφῆκε· τῶν δὲ ἐπισκόπων ἐπικαλεῖσθαι

## CAPUT IX.

*Quomodo Constantinus legem tulerit pro continentibus & Clericis.*

Vetus lex fuit apud Romanos, quæ
vetabat, ne cælibes ab anno ætatis
quinto ac vicesimo pari jure essent cum
B maritis, tum in aliis plurimis rebus, tum
in eo, ut nihil ex testamento caperent
qui non essent genere proximi. Orbos
vero mulctabat dimidia parte bonorum
quæ ipsis relicta erant. Tulerant hanc
legem veteres Romani, cum sperarent
futurum hac ratione, ut urbs Roma & re-
liquæ Provinciæ Imperii Romani, homi-
num multitudine abundarent. Etenim
paulo ante hanc legem quamplurimos
homines amiserant, bellis civilibus ab-
sumptos. Cum igitur animadverteret
Imperator, eos qui virginitatem & orbi-
tatem propter amorem Dei consecta-
rentur, ob id pejore loco esse, stultum es-
se existimavit, credere humanum genus
C humanâ posse curâ ac diligentiâ amplifi-
cari: cum natura juxta Dei dispensatio-
nem, semper aut detrimentum accipiat
aut incrementum. Itaque legem dedit
ad populum, ut cælibes & orbi pari jure
quo reliqui omnes fruerentur. Quin
etiam lege sanxit, ut qui in virginitate &
continentia vitam agerent, privilegio
aliquo potirentur: liberam ipsis faculta-
tem largitus tam masculis quam femi-
nis, licet adhuc impuberes essent, testa-
mentum faciendi, contra morem qui
ubique in Imperio Romano observatur.
De omnibus enim rebus recte consule-
re ac disponere censuit eos, quibus id
D unum opus studiumque esset, ut Deum
assidue colerent, & Philosophiæ vaca-
rent. Nam & ob eandem causam vete-
res Romani legem tulerunt, ut virgines
Vestæ sexto etiam ætatis anno testa-
mentum facere possent. Fuit hoc etiam
argumentum vel maximum reverentiæ
quam pius Princeps erga religionem
gerebat. Nam & omnes ubique cle-
ricos immunitate donavit, lege hac
de re specialiter data: & litigantibus



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN